ἵνα τῷ τεχθέντι Χριστῷ | διφυὲς μέλος προσάψω.
Γενέτῃ γάρ ἐστιν ἶσος | θεὸς ἐκ θεοῦ παλάμης,

---

1. Κατὰ τὴν ἔκδοσιν Sophronii Anacreontica; edidit... Marcellus Gigante, Roma 1957, σσ 46-51.

(Πηγὴ τῶν περὶ Ὑπαπαντῆς ποιημάτων)

ΛΟΥΚΑΣ Β', [22] Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ
τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, [23] καθὼς
γέγραπται ἐν νόμῳ Κυρίου ὅτι Πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσε-
ται, [24] καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ Κυρίου, ζεῦγος τρυγόνων
ἢ δύο νεοσσοὺς περιστερῶν. [25] Καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεών,
καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ
Πνεῦμα ἦν Ἅγιον ἐπ' αὐτόν. [26] καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ
Ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου. [27] καὶ ἦλθεν ἐν τῷ Πνεύ-
ματι εἰς τὸ ἱερόν. [27] καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι
αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, [28] καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς
ἀγκάλας καὶ εὐλόγησεν τὸν Θεὸν καὶ εἶπεν [29] Νῦν ἀπολύεις τὸν Δοῦλόν σου, Δέσποτα,
κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. [30] ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, [31] ὃ ἡτοί-
μασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, [32] φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν τοῦ
λαοῦ σου Ἰσραήλ. [33] καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ θαυμάζοντες ἐπὶ τοῖς λαλουμέ-
νοις περὶ αὐτοῦ· [34] καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα
αὐτοῦ Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς ση-
μεῖον ἀντιλεγόμενον — [35] καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία —, ὅπως ἂν
ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.
[36] Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ Φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα
ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, [37] καὶ αὐτὴ
χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσιν
λατρεύουσα νύκτα καὶ ἡμέραν. [38] καὶ αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Θεῷ
καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν Ἱερουσαλήμ.
[39] Καὶ ὡς ἐτέλεσαν πάντα τὰ κατὰ τὸν νόμον Κυρίου, ἐπέστρεψαν εἰς τὴν Γαλιλαίαν
εἰς πόλιν ἑαυτῶν Ναζαρέθ.

ἴσος αὖ πάλιν τεκούσῃ, | βροτὸς ἐκ βροτοῦ γὰρ ὤφθη.
Διὸ σύνθετον καλέσσω | τὸν ἀσυγχύτως φανέντα,
δύο γὰρ φύσεις τελείας | μετὰ σύνθεσιν δοκεύω. 16

'Ες θεὸν ὡς γενέτην Χριστὸς ἱκάνει·
δεσποτικοῦ προθέειν σπεύσομεν ἴχνους.

Ὅτι Χριστὸς ἐς τοκῆα | θεὸν ὡς βρέφος προῆλθεν, 20
προθέειν ποθεῖτε πάντες.
Ἔθιμος δ' ἐπεὶ τελέσθη | ἁγίας χρόνος λοχείης,
καθ' ἃ Μωσέως κελεύει | νόμος εὐσεβοῦς προφήτου,
ζάθεον παῖν τοκῆες | Ἱερουσαλὴμ ἐσῆγον,
βροτὸν ὡς θεῷ προσοίσειν | τὸν ἀεὶ θεῷ συνόντα.
Ζάθεος νόμος γὰρ ἔσκεν | ὅτι πᾶν διανοῖγον ἄρσεν 31
τοκετοῦ πύλας πανάγνους, | ἅγιον θεῷ καλείσθω.
θυσίην δ' ὁμοῦ κομίζειν | δύο τρυγόνας κελεύει,
ἀπορουμένοις δὲ τέκνα | τὰ πελειάδων γενέθλης.

Χριστὸς ἐλευθερίην πᾶσιν ὀπάζων
μωσαϊκῶν νομίμων ἄχθος ἀείρει. 39

Ὃς ἐλευθέραν ποιεῖται | μερόπην νόμου γενέθλην,
θεράπων νόμου φαάνθη.
Ἱερεὺς δέ τις κατῴκει | Ἱερουσαλὴμ ἐν ἄστει, 44
Συμεὼν μέγας προφήτης | φορέων θεοῖο πνεῦμα.
Κράτος ἀξίως ἐτίμα | ἁγίαις φρεσὶν θεοῖο,
παράκλησιν οὗτος ἔθνους | μένειν Ἰσραὴλ ἰδέσθαι. 50
Λόγον ἐνθέως βοῶντα | ἅγιον παρέσχε πνεῦμα,
ἵνα μὴ μόρῳ προσέλθῃ | πρὶν ἴδῃ γόνον θεοῖο.
Μεγάρων ἄφνω προῆλθεν, | ἱερὸν δ' ἐσῆλθε θεῖον· 56
ἅγιον γὰρ ἦγε πνεῦμα, | ἵνα Χριστὸν αὐτὸν εὕρῃ.

Ὁ νόμος Μωϋσέως ἄρτι τελέσθη,
ὅτι Χριστὸς προφανεὶς ὤπασε τέρμα. 60

Νόμον οἱ γονεῖς τελοῦντες | ἱερεῖ βρέφος παρέσχον·
ὁ δὲ δέξατο προθύμως | παλάμαις θεὸν δικαίαις.
Ξένα θαύματα σκοπήσας, | ἅπερ οὐ πάρος τις εἶδεν, 66
τετακὼς ἐς ὕψος ὄμμα | λέγε πρὸς βρέφους τοκῆα·
Ὁ θεός, τεόν με δοῦλον | κατὰ τὸν σὸν ἄρτι μῦθον 70
ἀπόλυσον ἐν γαλήνῃ, | ὅτι σου τὸ λύτρον εἶδον.
Προφανῶς γὰρ αὐτὸ πᾶσιν | ὁράαν βροτοῖς παρέσχες,
φάος ἔθνεσιν φαείνειν | κλέος Ἰσραὴλ λεῷ σου. 76

Συμεών, ἐκ προγόνων ὄλβιος ὤφθης,
ὅτι Χριστὸν παλάμαις δέξαο μοῦνος.

Ῥόος ἐκλόγων θεόπτου | γενέταις ἔτικτε θάμβος·
βάθος ἠγνόουν γὰρ οὗτοι | κρύφιον σοφῆς προνοίας.
Συμεὼν τότε προφήτης, | μετὰ τοὺς λόγους ἐκείνους,
ὀρέγων βρέφος κομίζειν | Μαριὰμ λέγεν τεκούσῃ·
Τὸ βρέφος, πάναγνε, τοῦτο | ἐς ἔγερσίν ἐστι πολλῶν,
μόρον αὖτε ὧν σὺν ἐθνῶν | ἐς ἐναντίον τε σῆμα.
Ὑπὸ σὸν δὲ πνεῦμα, κούρη, | δόρυ κάρχαρον διέλθοι,
κραδιῶν ὅπως ἀπείρων | φανεροὺς λόγους ποήσῃ.

Ἣν νόμος εὐσεβίην πᾶσι φαείνει·
πρῶτος ἔγνως Συμεὼν Χριστὸν ἐόντα.

Φάτις εὐθέως ἱκέσθαι | ἱερὰν προφῆτιν Ἄννην·
θυγάτηρ πέλεν Φανουὴλ | ἀπ' Ἀσὴρ ἐοῦσα φύτλης.
Χρόνον οὐ βραχὺν γὰρ αὕτη | σαόφρων τέλεσσε χήρα·
ἱερῷ δ' ἀεὶ παροῦσα | θεὸν ἠϋμένιζεν ὕμνοις.
Ψόφον δ' οὐδόλως ποοῦσα | πολιοῖς ποσὶν παρέστη,
φανερὸν δὲ τεῦξε Χριστὸν | Ἱερουσαλὴμ πολίταις.
Ψόγον ἐξελθοῦσα λήθης | κραδίῃ φύλασσε πάντα,
Μαρίη, βρέφος δ' ἑλοῦσα | ἐπὶ Ναζαρὲθ πορεύου.

Μαρίη καὶ Συμεὼν καὐτὸς Ἰωσὴφ
μετὰ Ἄννης, ἱκέτας σώζετε πάντας.

Μαρίη κλυτή, σὺν Ἄννῃ, | Συμεών, ἄναξ Ἰωσήφ,
ἱκέταις γένοισθε τεῖχος.

III

ΡΩΜΑΝΟΥ

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ

(κατὰ τὴν ἔκδοσιν Λυδίας Ἀθανασοπούλου - Γκαζῆ)

CODEX PATMIACUS 212 (P), ff 123v - 126r

Μηνὶ Δεκεμβρίῳ ΚϚ'

Ἕτερον κοντάκιον εἰς τὴν ἁγίαν Γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, φέρον ἀκροστιχίδα τήνδε: Τοῦ ταπεινοῦ Ῥωμανοῦ. Ἦχος πλ. β'. Ἰδιόμελον.

Ὁ πρὸ ἑωσφόρου ἐκ πατρὸς ἀμήτωρ γεννηθεὶς
ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ·
ὅθεν ἀστὴρ εὐαγγελίζεται μάγοις,
ἄγγελοι δὲ μετὰ ποιμένων ὑμνοῦσι
τὸν ἄφραστον τόκον σου,
ἡ κεχαριτωμένη.

α' ***Τὸν*** *ἀγεώργητον βότρυν βλαστήσασα ἡ ἄμπελος*
ὡς ἐπὶ κλάδων ἀγκάλαις ἐβάσταζε καὶ ἔλεγεν·
«Σὺ καρπός μου, σὺ ζωή μου, ἀφ' οὗ ἔγνων
ὅτι καὶ ὃ ἤμην εἰμί· σύ μου Θεός·
τὴν σφραγῖδα τῆς παρθενίας μου ὁρῶσα ἀπαράλλακτον
κηρύττω σε ἄτρεπτον Λόγον σάρκα γενόμενον·
οὐκ οἶδα σποράν· οἶδά σε λύτην τῆς φθορᾶς·
ἁγνὴ γάρ εἰμι, σοῦ προελθόντος ἐξ ἐμοῦ·
124r *ὡς γὰρ εὗρες ἔλιπες μήτραν ἐμὴν φυ|λάξας σώαν αὐτήν.*
Διὰ τοῦτο συγχορεύει πᾶσα κτίσις βοῶσά μοι
ἡ κεχ⟨αριτωμένη⟩.

β' ***Οὐκ*** *ἀθετῶ σου τὴν χάριν, ἧς ἔχω πεῖραν, δέσποτα·*
οὐκ ἀμαυρῶ τὴν ἀξίαν, ἧς ἔτυχον τεκοῦσά σε·

---

1 Ps. 109,3. *3* Mat. 2,1-2. *4* Luc. 2,8-14. *12* Ino. 1,14. *18* Luc. 1,30.

τοῦ γὰρ κόσμου βασιλεύω· ἐπειδὴ κράτος
τὸ σὸν ἐβάστασα γαστρί, πάντων κρατῶ.
Μετεποίησας τὴν πτωχείαν μου τῇ συγκαταβάσει σου·
σαυτὸν ἐταπείνωσας καὶ τὸ γένος μου ὕψωσας.
Εὐφράνθητέ μοι νῦν ἅμα γῆ καὶ οὐρανός·
τὸν γὰρ ποιητὴν ὑμῶν βαστάζω ἐν χερσί.
Γηγενεῖς, ἀπόθεσθε τὰ λυπηρὰ θεώμενοι τὴν χαράν,
ἣν ἐβλάστησα ἐκ κόλπων ἀμιάντων καὶ ἤκουσα
ἡ κεχαριτωμέ⟨νη⟩».

γ' *Ὑμνολογούσης δὲ τότε Μαρίας ὃν ἐγέννησε,*
κολακευούσης δὲ βρέφος, ὃ μόνη ἀπεκύησεν,
ἤκουσεν ἡ ἐν ὀδύναις τεκοῦσα τέκνα
καὶ γηθομένη τῷ Ἀδὰμ Εὔα βοᾷ.
«Τίς ἐν τοῖς ὠσί μου νῦν ἤχησεν ἐκείνη, ἣν ἤλπιζον,
παρθένον τὴν τίκτουσαν τῆς κατάρας τὴν λύτρωσιν,
ἧς μόνη φωνὴ ἔλυσέ μου τὰ δυσχερῆ
καὶ ταύτης γονὴ ἔτρωσε τὸν τρώσαντά με,
ταύτην, ἣν προέγραψεν υἱὸς Ἀμώς, ἡ ῥάβδος τοῦ Ἰεσσαὶ
ἡ βλαστήσασά μοι κλάδον, οὗ φαγοῦσα οὐ θνήξομαι,
ἡ κεχαριτωμέ⟨νη⟩.

---

31 Gen. 3,16. *37* Is. 11,1. I Cor. 2,12-13.

Στ. 30. μόνη = χωρὶς τὴν συμμετοχὴν ἀνδρός.

Στ. 31. Ὑπὲρ τῆς γραφῆς *ὀδύναις* καὶ οὐχὶ *ὠδίναις*, ὡς ἔγραψεν ὁ Εὐστρατιάδης, συνηγορεῖ ἀφ' ἑνὸς μὲν τὸ κείμενον τῆς Π.Δ. διότι τὴν λέξιν αὐτὴν μεταχειρίζεται ὁ Θεὸς ὅταν καταρᾶται τὴν Εὔαν, ἀφ' ἑτέρου δὲ ἐσωτερικαὶ μαρτυρίαι ἐν αὐτῷ τούτῳ τῷ ὕμνῳ. Διότι κατωτέρω ἡ Εὔα παρακαλεῖ τὴν Παρθένον νὰ ἀποσοβήσῃ τὸ αἶσχος *«τῆς ἐν λύπαις τικτούσης»* ἐνῷ ἀμέσως κατόπιν προσθέτει τὰς λέξεις *«πάσχω τὴν ψυχήν»*. Ὁ τύπος ὠδίναις δὲν εὐσταθεῖ, διότι τὸ ὄνομα εἶναι τριτόκλιτον.

Στ. 33. Ἡ γραφὴ τοῦ P *ἐκείνη* ἐθεωρήθη προτιμητέα ὡς lectio difficilior· ὁπότε τὸ *τίς* θὰ ἐκληφθῇ ὡς γένους θηλυκοῦ καὶ μὲ τὴν σημασίαν τοῦ *οἵα*, αἱ δὲ αἰτιατικαὶ αἱ ὁποῖαι ἀκολουθοῦν ὡς τεθεῖσαι καθ' ἕλξιν πρὸς τὸ *ἣν ἤλπιζον*.

Στ. 37. υἱὸς Ἀμώς = ὁ προφήτης Ἠσαΐας. Τὴν ἀλληγορίαν τῆς ῥάβδου τοῦ Ἰεσσαὶ ὁ Εὐσέβιος Ἀλεξανδρείας ἐν PG 86, 368 ἑρμηνεύει ὡς ἑξῆς: *«Ῥίζαν δὲ εἶπε τὸν Δαβίδ, 'ῥάβδον ἀναβαίνουσαν' ἐκ τῆς ῥίζης τὴν Παρθένον Μαρίαν, 'ἄνθος ἀναβαῖνον ἐκ τῆς ῥάβδου Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν βασιλέα τῶν Ἐθνῶν»*.

Στ. 38. «φαγοῦσα»: ὑπαινιγμὸς εἰς τὸν τρόπον τῆς πτώσεως· διότι καὶ τότε ἔφαγε τὸν καρπόν. *Θνήξομαι* ἀντὶ θανοῦμαι.

δ' *Τῆς χελιδόνος ἀκούσας κατ' ὄρθρον κελαδούσης μοι*
τὸν ἰσοθάνατον ὕμνον, 'Αδάμ, ἀφεὶς ἀνάστηθι·
ἄκουσόν μου τῆς συζύγου. 'Εγὼ ἡ πάλαι
πτῶμα προξενήσασα βροτοῖς νῦν ἀνιστῶ.
Κατανόησον τὰ θαυμάσια· ἴδε τὴν ἀπείρανδον
διὰ τοῦ γεννήματος ἰωμένην σε τοῦ τραύματος·
ἐμὲ γάρ ποτε εἷλεν ὁ ὄφις καὶ σκιρτᾷ,
ἀλλ' ἄρτι ὁρῶν τοὺς ἐξ ἡμῶν φεύγει συρτῶς.
Κατ' ἐμοῦ μὲν ὕψωσε τὴν κεφαλήν, νυνὶ δὲ ταπεινωθεὶς
κολακεύει, οὐ χλευάζει, δειλιῶν ὃν ἐγέννησεν
ἡ κεχαριτωμέ⟨νη⟩».

ε' *'Αδὰμ ἀκούσας τοὺς λόγους, οὓς ὕφανεν ἡ σύζυγος,*
ἐκ τῶν βλεφάρων τὸ βάρος εὐθέως ἀποθέμενος
ἀνανεύει ὡς ἐξ ὕπνου καὶ οὖς ἀνοίξας,
ὃ ἔφραξε παρακοῇ, ἔφη οὕτως.
«Λιγυροῦ ἀκούω κελαδήματος, τερπνοῦ δὲ μινυρίσματος,
ἀλλὰ τοῦ μελίσματος νῦν ὁ φθόγγος οὐ τέρπει με·
γυνὴ γάρ ἐστιν, ἧς καὶ φοβοῦμαι τὴν φωνήν·
124v *ἐν πείρᾳ εἰμί· ὅθεν τὸ θῆλυ | δειλιῶ.*
ὁ μὲν ἦχος θέλγει με ὡς λιγυρός, τὸ ὄργανον δὲ δονεῖ,
ὡς πάλαι μὴ πλανήσῃ ἐπιφέρουσα ὄνειδος
⟨τῇ κεχαριτωμένῃ⟩».

ϛ' *«Πληροφορήθητι, ἄνερ, τοῖς λόγοις τῆς συζύγου σου·*
οὐ γὰρ εὑρήσεις με ἄρτι πικρά σοι συμβουλεύουσαν·
τὰ ἀρχαῖα γὰρ παρῆλθε καὶ νέα πάντα
δείκνυσιν ὁ τῆς Μαρίας γόνος Χριστός.
Τούτου τῆς νοτίδος πιάνθητι καὶ εὐθέως νῦν ἐξάνθησον·
ὡς στάχυς ὀρθώθητι· τὸ γὰρ ἔαρ σε ἔφθασεν,
'Ιησοῦς Χριστός, πνεύσας ὡς αὔρα γλυκερά.
Τὸν καύσωνα, ᾧ ἧς, ἀποφυγὼν τὸν αὐστηρὸν
δεῦρο ἀκολούθει μοι πρὸς Μαριὰμ καὶ τῶν ἀχράντων αὐτῆς ποδῶν

---

46 Gen. 3. *60* Gen. 3,1-14. *63* Gen. 3,6. *64* II Co. 5,17.

Στ. 46. σκιρτᾷ: ἐνεστὼς διὰ νὰ τονισθῇ ἡ διάρκεια τῆς χαρᾶς τοῦ ὄφεως.
Στ. 47. τοὺς ἐξ ἡμῶν: ἐννοεῖ τὴν Μαρίαν καὶ τὸν 'Ιησοῦν.

ἅψαι σὺν ἐμοὶ νῦν καὶ εὐθέως σπλαγχνισθήσεται
ἡ κεχαριτωμένη».

ζ' *«Ἔγνων, ὦ γύναι, τὸ ἔαρ καὶ τῆς τρυφῆς αἰσθάνομαι,*
ἧς ἐξεπέσομεν πάλαι· καὶ γὰρ ὁρῶ παράδεισον
νέον ἄλλον, τὴν Παρθένον φέρουσαν κόλποις
αὐτὸ τὸ ξύλον τῆς ζωῆς, ὅπερ ποτὲ
χερουβὶμ ἐτήρει τὸ ἅγιον πρὸς τὸ μὴ ψαῦσαί με.
Τοῦτο τοίνυν ἄψαυστον ἐγὼ βλέπων φυόμενον
ᾐσθόμην πνοῆς, σύζυγε, τῆς ζωοποιοῦ
τῆς κόνιν ἐμὲ ὄντα καὶ ἄψυχον πηλὸν
ποιησάσης ἔμψυχον. Ταύτης νυνὶ τῇ εὐοσμίᾳ ῥωσθεὶς
πορευθῶ πρὸς τὴν ἀνθοῦσαν τὸν καρπὸν τῆς ζωῆς ἡμῶν,
τὴν κεχαριτωμένην».

η' *«Ἰδού εἰμι πρὸ ποδῶν σου, Παρθένε, μῆτερ, ἄμωμε,*
καὶ δι' ἐμοῦ πᾶν τὸ γένος τοῖς ἴχνεσί σου πρόσκειται.
Μὴ παρίδῃς τὴν τεκοῦσαν, ἐπειδὴ τόκος σὸς
ἀνεγέννησε νῦν τοὺς ἐν φθορᾷ
καὶ τῷ Ἅδῃ προκατασχεθέντας δι' Ἀδὰμ τὸν πρωτόπλαστον·
οἰκτείρησον, θύγατερ, τὸν πατέρα σου στένοντα·
τὰ δάκρυά μου βλέπουσα σπλαγχνίσθητί μοι
καὶ τοῖς ὀδυρμοῖς κλῖνον τὸ οὖς σου εὐμενῶς·
τὰ δὲ ῥάκη βλέπεις μου, ἅπερ φορῶ, ἃ ὄφις μοι ὕφανεν·
ἄμειψόν μου τὴν πενίαν, ἐνώπιον οὗ ἔτεκες,
ἡ κεχαριτωμένη».

θ' *«Νῦν, ἡ ἐλπὶς τῆς ψυχῆς μου, κἀμοῦ τῆς Εὔας ἄκουσον*
καὶ τῆς ἐν λύπαις τικτούσης τὸ αἶσχος ἀποσόβησον,

---

74 Gen. 3,24. *76* Gen. 2,9. *77* Gen. 3,24. *79-81* Gen. 2,7. *96* Gen. 3,16.

Στ. 73. τῆς τρυφῆς: Εἰς τὴν Παλαιὰν Διαθήκην ἀπαντᾷ συχνάκις ἡ ἔκφρασις «Παράδεισος τῆς τρυφῆς». Ὁ Θεόφιλος Ἀντιοχείας θεωρεῖ τὴν λ. τρυφὴ ὡς συνώνυμον τῆς λ. Ἐδέμ. «Ἐδὲμ δὲ ἑβραϊστὶ τὸ εἰρημένον ἑρμηνεύεται τρυφή» (Πρὸς Αὐτόλυκον Β' 24, Sources Chrétiennes, τ. 18, 1948, σ. 37).

Στ. 82. τὴν ἀνθοῦσαν: βλ. ἐν στ. 37 σημ. τὴν ἀλληγορίαν τῆς ῥάβδου τοῦ Ἰεσσαί.

Στ. 89. τὸν πατέρα σου: τονίζει τὴν ἐξ ἀνθρώπων καταγωγὴν τῆς Θεοτόκου. Βλ. καὶ ἀνωτέρω, στ. 47.

Στ. 95. Προετίμησα τὴν γραφὴν *νῦν* διότι δι' αὐτῆς δηλοῦται σαφέστερον ἡ ἐναλλαγὴ τῶν ὁμιλούντων προσώπων.

125r *ὡς εἰδυῖα | ὅτι πλεῖον ἐγὼ πάντων*
τοῖς ὀδυρμοῖς τοῦ 'Αδὰμ πάσχω τὴν ψυχήν·
τῆς τρυφῆς γὰρ οὗτος μιμνησκόμενος ἐμοὶ ἐπανίσταται
λοιδορῶν ὡς «εἴθε μὴ τῆς πλευρᾶς μου ἐβλάστησας·
καλὸν ἦν μὴ λαβεῖν σε εἰς βοήθειάν μου·
οὐκ ἔπιπτον γὰρ νῦν εἰς τοῦτον τὸν βυθόν».
Καὶ λοιπὸν μὴ φέρουσα τοὺς ἐλεγμοὺς μηδὲ τὸν ὀνειδισμὸν
κατακάμπτω τὸν αὐχένα, ἕως οὗ ἀνορθώσῃς με,
ἡ κεχαριτωμένη».

***Οἱ** ὀφθαλμοὶ δὲ Μαρίας τὴν Εὔαν θεωρήσαντες*
καὶ τὸν 'Αδὰμ κατιδόντες δακρύειν κατηπείγοντο·
ὅμως στέγει καὶ σπουδάζει νικᾶν τὴν φύσιν
ἡ παρὰ φύσιν τὸν Χριστὸν σχοῦσα υἱόν·
ἀλλὰ σπλάγχνοις ἐταράττετο γονεῦσι συμπάσχουσα·
τῷ γὰρ ἐλεήμονι μήτηρ ἔπρεπεν εὔσπλαγχνος·
διὸ πρὸς αὐτούς· «Παύσασθε τῶν θρήνων ὑμῶν
καὶ πρέσβυς ὑμῶν γίνομαι πρὸς τὸν ἐξ ἐμοῦ·
ὑμεῖς δὲ ἀπώσασθε τὴν συμφορὰν τεκούσης μου τὴν χαράν·
διὰ τοῦτο τὰ τῆς λύπης ἐκπορθῆσαι ἥκω νῦν,
ἡ κεχα⟨ριτωμένη⟩.

ια' ***Υἱὸν** οἰκτίρμονα ἔχω καὶ λίαν ἐλεήμονα,*
ἐξ ὧν τῇ πείρᾳ ἐπέγνων. Προσέχω ὅπως φείδεται.
Πῦρ ὑπάρχων ᾤκησέ μου τὴν γαστέρα
καὶ οὐ κατέφλεξέ με τὴν ταπεινήν.
'Ως πατὴρ οἰκτείρει υἱοὺς αὐτοῦ, οἰκτείρει ὁ γόνος μου
τοὺς φοβουμένους αὐτόν, ὡς Δαβὶδ προεφήτευσεν·
τὸ δακρύειν δὲ παύσαντες ἐκδέξασθέ με
μεσῖτιν ὑμῶν γενέσθαι πρὸς τὸν ἐξ ἐμοῦ·
χαρᾶς γὰρ παραίτιος ὁ γεννηθείς, ὁ πρὸ αἰώνων Θεός.

---

100 Gen. 2,21-22. *101* Gen. 2,18. *122* Ps. 102,13.

Στ. 107. 'Εδάκρυσεν ἡ Παρθένος διότι εἶδε τὴν φθορὰν εἰς τὴν ὁποίαν εἶχον περιπέσει οἱ πρωτόπλαστοι.

Στ. 119 - 120. 'Ενταῦθα ὑπόκειται ἡ ἀλληγορία τῆς βάτου τῆς καιομένης καὶ μὴ φλεγομένης.

Στ. 122. Χαρακτηριστικὴ ἡ αὔξησις τοῦ ρήμ. προφητεύω.

῾Ησυχάσατε ἀλύπως· πρὸς αὐτὸν γὰρ εἰσέρχομαι
ἡ κεχαριτωμέ⟨νη⟩».

ιβ' *῾Ρήμασι τούτοις Μαρία, φιλάνθρωπος τυγχάνουσα,*
παρακαλέσασα Εὔαν καὶ ταύτης τὸν ὁμόζυγα
εἰσελθοῦσα πρὸς τὴν φάτνην αὐχένα κάμπτει
καὶ δυσωποῦσα τὸν υἱὸν οὕτω φησί.
«᾿Επειδή με, ὦ τέκνον, ὕψωσας τῇ συγκαταβάσει σου,
τὸ πενιχρὸν γένος μου δι' ἐμοῦ νῦν σου δέεται·
᾿Αδὰμ γὰρ πρός με ἦλυθε στενάζων πικρῶς,
Εὔα δὲ τούτῳ ὀδυνωμένη συνθρηνεῖ,
ὁ δὲ τούτων αἴτιος ὄφις ἐστίν, τιμῆς γυμνώσας αὐτούς.
Διὰ τοῦτο σκεπασθῆναι ἐξαιτοῦσι βοῶντές μοι
ἡ κεχα⟨ριτωμένη⟩».

125ᵛ ιγ' *῾Ως δὲ τοιαύτας δεήσεις προσήγαγεν ἡ ἄμωμος*
Θεῷ κειμένῳ ἐν φάτνῃ, λαβὼν εὐθὺς ὑπέγραφεν,
ἑρμηνεύων τὰ ἐσχάτως φησίν· «῏Ω Μῆτερ,
καὶ διὰ σὲ καὶ διὰ σοῦ σῴζω αὐτούς.
Εἰ μὴ σῶσαι τούτους ἐλήλυθα, οὐκ ἂν ἐν σοὶ ᾤκησα,
οὐκ ἂν ἐκ σοῦ ἀνέλαμψα, οὐκ ἂν μήτηρ μου ἤκουσας.
Τὴν φάτνην ἐγὼ διὰ τὸ γένος σου οἰκῶ,

---

136 Gen. 3,1-6. *137* Gen. 3,7.

Στ. 129. *τὸν ὁμόζυγα:* ἐκ τῆς δοκίμου ὀνομαστικῆς ὁμόζυξ. Βλ. καὶ Κόντου, Φιλολογικὰ ποικίλα, «᾿Αθηνᾶ» Α', 1889, σ. 178.

Στ. 134. ῾Ο τύπος *ἤλυθε* ἀντὶ τοῦ *ἦλθε* συχνάκις ἀπαντᾷ παρὰ Ρωμανῷ. Πρὸς τὸν διάλογον μεταξὺ Μαρίας καὶ ᾿Ιησοῦ, ὅστις ἄρχεται ἀπὸ τοῦ οἴκου τούτου καὶ διήκει μέχρι τέλους τοῦ ὕμνου, καταπληκτικὰς ἀναλογίας, φραστικὰς καὶ νοήματος, παρουσιάζει ὁ παρόμοιος διάλογος, ὅστις ἀποτελεῖ τὸν ῞Υμνον τοῦ Ρωμανοῦ εἰς τὸ Πάθος. ῞Υμνοι Β', ΚΑ', σσ. 156 - 172.

Στ. 141. Τοῦ *φησίν*, καθὼς καὶ τοῦ *ἔφη* ἐνίοτε, ἰδιόρρυθμος ἡ χρῆσις παρὰ Ρωμανῷ. ῾Ο ποιητὴς χρησιμοποιεῖ πολλάκις τοὺς τύπους αὐτοὺς ἄνευ συντακτικοῦ δεσμοῦ πρὸς τὰς ἄλλας λέξεις τῆς προτάσεως, οἱονεὶ πλεοναστικῶς καὶ ὡς ἁπλᾶς τυποποιημένας ἐκφράσεις, δηλούσας μετάβασιν πρὸς τοὺς λόγους προσώπου τινὸς τιθεμένους συνήθως ἐντὸς εἰσαγωγικῶν. Βλ. καὶ κοντάκιον τῆς ἁγίας καὶ πανσέπτου Γεννήσεως, P. Maas, ῎Ενθ' ἀν., σ. 7, οἶκος ις', στ. 1: *«Ναί, φησὶ τοῖς πιστοῖς Μάγοις Μαρία ἔφησε»* καὶ στ. 7: *«Οἱ δὲ πρὸς ταύτην φησὶ»* καὶ ῞Υμνον εἰς τὰς Δέκα Παρθένους, ῞Υμνοι Β', σ. 362, στ. 181: *«῾Υπολαβοῦσαι αἱ σοφαί φησι τοῖς ἀνοήτοις»* καὶ στ. 270 - 273: *«Οὕτως ἐρούσαις ταῖς μωραῖς... πρὸς αὐτὰς Χριστὸς ἔφη»*, ὡς καὶ κατωτέρω, στ. 201.

μαζῶν δὲ τῶν σῶν βουλόμενος γαλουχῶ.
Ἐν ἀγκάλαις φέρεις με χάριν αὐτῶν· ὃν οὐχ ὁρᾷ χερουβίμ,
ἰδοὺ βλέπεις καὶ βαστάζεις, ὡς υἱὸν κολακεύεις με,
ἡ κεχαριτωμένη.

ιδ′ ***Μ**ητέρα σε ἐκτησάμην ὁ πλαστουργὸς τῆς κτίσεως*
καὶ ὥσπερ βρέφος αὐξάνω ὁ ἐκ τελείου τέλειος·
τοῖς σπαργάνοις ἐνειλοῦμαι διὰ τοὺς πάλαι
χιτῶνας δερματίνους φορέσαντας,
τὸ δὲ σπήλαιόν μοι ἐράσμιον διὰ τοὺς μισήσαντας
τρυφὴν καὶ παράδεισον καὶ φθορὰν ἀγαπήσαντας
καὶ παραβάντας τὴν ζωηφόρον ἐντολήν·
Κατέβην εἰς γῆν, ἵνα σχῶσιν ἄφθαρτον ζωήν·
ἂν δὲ καὶ σταυροῦσθαί με μάθῃς, σεμνή, νεκροῦσθαι δὲ δι' αὐτούς,
μετὰ πάντων τῶν στοιχείων δονηθήσει καὶ θρηνήσεις
ἡ κεχαριτωμένη».

ιε′ *Ἀ**λλὰ τοιαῦτα εἰπόντος τοῦ πᾶσαν γλῶσσαν πλάσαντος*
καὶ τῆς μητρὸς τῇ δεήσει ταχέως ὑπογράψαντος,
ἔτι εἶπεν ἡ Μαρία· «Ἐὰν λαλήσω,
μὴ ὀργισθῇς μοι τῇ πηλῷ, ὦ πλαστουργέ·
ὡς γὰρ τέκνῳ παρρησιάσομαι· θαρρῶ ὡς γεννήσασα·
σὺ γάρ μοι τῷ τόκῳ σου πᾶσαν καύχησιν δέδωκας.
Ὃ μέλλεις τελεῖν, τί ἐστι, θέλω νῦν μαθεῖν·
μὴ κρύψῃς ἐμοὶ τὴν ἀπ' αἰῶνός σου βουλήν·
ὅλον σὲ ἐγέννησα· φράσον τὸν νοῦν, ὃν ἔχεις περὶ ἡμᾶς,

---

153 Gen. 3,21. *156* Gen. 2,16-17. *159* Mat. 28,51-54. Mar. 15,33. Luc. 23,44-45. *166* Luc. 1,48.

Στ. 146. Τὸ ῥῆμα *γαλουχῶ* κεῖται ἐνταῦθα μὲ τὴν σημασίαν τοῦ γαλουχοῦμαι.

Στ. 152. Βλ. ἐν τῷ τρίτῳ τόμῳ Ὕμνον εἰς τὰ Βαΐα, στ. 84 : *«Ἐν τοῖς σπαργάνοις εἰληθεὶς»*.

Στ. 156. *ζωηφόρον* ἀποκαλεῖ τὴν ἐντολὴν διότι ἐφ' ὅσον θὰ ἐτηρεῖτο τὸ παράγγελμα τοῦ Θεοῦ οἱ πρωτόπλαστοι θὰ εἶχον ὡς γέρας τὴν ζωήν, ἄλλως τοὺς ἀνέμενεν ὁ θάνατος.

Στ. 164. Χαρακτηριστικὴ ἡ χρῆσις τοῦ οὐσιαστικοῦ ἀντὶ ἐπιθέτου. Ἀποφεύγει τὸ τετριμμένον.

Στς 169. ὅλον σε ἐγέννησα : Εἶσαι Θεὸς καὶ ἄνθρωπος. Τὴν θείαν σου ὑπόστασιν τὴν ὀφείλεις βεβαίως εἰς τὸν Ἄναρχον πατέρα σου, ἀλλὰ τὴν κατ' ἄνθρωπον ὕπαρξιν τὴν ὀφείλεις ἐξ ὁλοκλήρου εἰς ἐμέ. Εἶναι φυσικόν, λοιπόν, ὡς τέκνον μου νὰ μοῦ τὰ εἴπῃς. Διὰ τοῦ *ἡμᾶς* ἐξ ἄλλου ἡ Θεοτόκος συναριθμεῖ τὸν ἑαυτόν της μεταξὺ τῶν θνητῶν καὶ εἶναι ὡσὰν νὰ συμμερίζεται τὴν τύχην των. Βλ. καὶ ἀνωτέρω, στ. 47 καὶ 89.

ἵνα μάθω καὶ ἐκ τούτου, οἵας ἔτυχον χάριτος
ἡ κεχαριτωμένη».

ις' *«Νικῶμαι διὰ τὸν πόθον, ὃν ἔχω πρὸς τὸν ἄνθρωπον,*
ὁ ποιητὴς ἀπεκρίθη. Ἐγώ, δούλη καὶ μῆτέρ μου,
οὐ λυπῶ σε, γνωριῶ δὲ ἃ θέλω πράττειν
καὶ θεραπεύσω σου ψυχήν, ὦ Μαριάμ.
Τὸν ἐν ταῖς χερσί σου φερόμενον τὰς χεῖρας ἡλούμενον
126ʳ *μετὰ μικρὸν ὄψει με, ὅτι στέγω τὸ γένος σου·*
ὃν σὺ γαλουχεῖς, ἄλλοι ποτίσουσι χολήν·
ὃν καταφιλεῖς, μέλλει πληροῦσθαι ἐμπτυσμῶν·
ὃν ζωὴν ἐκάλεσας, ἔχεις ἰδεῖν κρεμάμενον ἐν σταυρῷ
καὶ δακρύσεις ὡς θανόντα, ἀλλ' ἀσπάσῃ με ἀναστάντα
ἡ κεχ⟨αριτωμένη⟩.

ιζ' *Ὅλων δὲ τούτων ἐν πείρᾳ βουλήσει μου γενήσομαι*
καὶ πάντων τούτων αἰτία διάθεσις γενήσεται,
ἣν ἔκπαλαι ἕως ἄρτι πρὸς τοὺς ἀνθρώπους
ἐπεδειξάμην ὡς Θεὸς σῶσαι ζητῶν».
Μαριὰμ δὲ τούτων ὡς ἤκουσεν ἐκ βάθους ἐστέναξε
βοήσασα· «Ὦ βότρυς μου, μὴ ἐκθλίψωσί σε ἄνομοι!
Ἐβλάστησά σε· μὴ ὄψομαι τοῦ ἐμοῦ τέκνου σφαγήν!»
Ὁ δὲ πρὸς αὐτὴν ἔφησεν οὕτως εἰπών·
«Παῦσαι, μῆτερ, κλαίουσα ὃ ἀγνοεῖς· ἐὰν γὰρ μὴ τελεσθῇ,
ἀπολοῦνται οὗτοι πάντες, δι' οὓς ἱκετεύεις με
ἡ κεχαριτωμένη.

ιη' *Ὕπνον δὲ νόμισον εἶναι τὸν θάνατόν μου, μῆτέρ μου·*
τρεῖς γὰρ ἡμέρας τελέσας ἐν μνήματι θελήματι

---

178 Mat. 27,34. *179* Mat. 26,67 - 27,30. Mar. 14,65 - 15,19.

Στ. 174 κ.ἑ. Πρόρρησιν περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως ἀκούει ἡ Παρθένος ἀπὸ τὰ χείλη τοῦ Συμεὼν εἰς τὸν ὕμνον τοῦ Ρωμανοῦ εἰς τὴν Ὑπαπαντὴν (Ὕμνοι Β', σσ. 325-327, στ. 232-267). Εἰς τὰ Εὐαγγέλια ἐξ ἄλλου ὁ Ἰησοῦς προλέγει τὸ πάθος καὶ τὴν ἀνάστασίν του εἰς τοὺς μαθητάς του (Μᾶρκ. 10,33-34, Λουκ. 18,32).

Στ. 180. ζωὴν ἐκάλεσας. Βλ. ἀνωτέρω, στ. 9.

Στ. 189. Ἡ Παρθένος δὲν διαφέρει ἐδῶ ἀπὸ οἱανδήποτε ἄλλην ἀνθρωπίνην μητέρα. Καὶ ἡ Σάρρα εἰς τὸν ὕμνον τοῦ Ρωμανοῦ εἰς τὴν Θυσίαν τοῦ Ἀβραὰμ θὰ εἴπῃ πρὸς τὸ ὁδηγούμενον πρὸς τὸν θάνατον τέκνον της *«Μὴ κατίδω σου σφαγὴν καὶ ἀπόλωμαι».* (Ὕμνοι Α', σ. 53, στ. 197).

μετὰ ταῦτά σοι ὁρῶμαι ἀναβιώσας
ἐπὶ ἀνακαινίσει τῆς γῆς καὶ τῶν ἐκ γῆς.
Ταῦτα, μῆτερ, πᾶσιν ἀνάγγειλον· ἐν τούτοις πλουτίσθητι,
ἐκ τούτων βασίλευσον, διὰ τούτων εὐφράνθητι».
'Εξῆλθεν εὐθὺς ἡ Μαριὰμ πρὸς τὸν 'Αδὰμ
εὐαγγελισμὸν φέρουσα τῇ Εὔᾳ φησί·
«Τέως ἡσυχάσατε ὅσον μικρόν· ἠκούσατε γὰρ αὐτοῦ
ἅπερ εἶπεν ὑπομεῖναι δι' ὑμᾶς τοὺς βοῶντάς μοι
ἡ κεχαριτωμένη».

Στ. 201. Καὶ πάλιν ἡ ἰδιόρρυθμος χρῆσις τοῦ φησί. Βλ. ἀνωτέρω, στ. 141, σημ.
Στ. 202. τέως = ἕως τότε. Βλ. Κ. 'Αμάντου, Γλωσσικαὶ παρατηρήσεις εἰς μεσαιωνικοὺς συγγραφεῖς, ΕΕΒΣ Β', 1925, σσ. 277 - 278.

IV

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Α' — Κανὼν εἰς τὴν Χριστοῦ Γέννησιν

Ἦχος α'

Ἡ ἀκροστιχίς.

Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει
υἷα Θεοῦ μερόπων εἵνεκα τικτόμενον
ἐν χθονὶ καὶ λύοντα πολύστονα πήματα κόσμου·
ἀλλ' ἄνα, ῥητῆρας ῥύεο τῶνδε πόνων.

Ὠδὴ α'. Ὁ Εἱρμός.

Ἔσωσε λαὸν θαυματουργῶν Δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·
Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατὴν
Πόλου τίθησιν ἡμῖν· ὃν κατ' οὐσίαν
Ἶσόν τε Πατρί, καὶ βροτοῖς δοξάζομεν.

Τροπάρια.

Ἤνεγκε γαστὴρ ἡγιασμένη Λόγον,
Σαφῶς ἀφλέκτῳ ζωγραφουμένη βάτῳ
Μιγέντα μορφῇ τῇ βροτησίᾳ Θεόν,
Εὔας τάλαιναν νηδὺν ἀρᾶς τῆς πάλαι,
Λύοντα πικρᾶς· ὃν βροτοὶ δοξάζομεν.

Ἔδειξεν ἀστὴρ τὸν πρὸ ἡλίου Λόγον,
Ἐλθόντα παῦσαι τὴν ἁμαρτίαν Μάγοις,
Σαφῶς πενιχρὸν εἰς σπέος τὸν συμπαθῆ,
Σὲ σπαργάνοις ἑλικτόν· ὃν γεγηθότες,
Ἶδον τὸν αὐτόν, καὶ βροτὸν καὶ Κύριον.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Νεῦσον πρὸς ὕμνους οἰκετῶν, Εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν.
Φέρων τε, Παντεπόπτα τῆς ἁμαρτίας,

Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους,
Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.

Τροπάρια.

Νύμφης πανάγνου τὸν πανόλβιον τόκον,
Ἰδεῖν ὑπὲρ νοῦν ἠξιωμένος χορός,
Ἄγραυλος, ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ·
Τάξιν μελῳδοῦσάν τε τῶν Ἀσωμάτων,
Ἄνακτα Χριστόν, ἀσπόρως σαρκούμενον.

Ὕψους ἀνάσσων, οὐρανῶν εὐσπλαγχνίᾳ,
Τελεῖ καθ' ἡμᾶς ἐξ ἀνυμφεύτου Κόρης.
Ἄϋλος ὢν τὸ πρόσθεν· ἀλλ' ἐπ' ἐσχάτων,
Λόγος παχυνθεὶς σαρκί, τὸν πεπτωκότα,
Ἵνα πρὸς αὐτόν, ἑλκύσῃ πρωτόκτιστον.

Ὠδὴ δ'. Ὁ εἱρμός.

Γένους βροτείου, τὴν ἀνάπλασιν πάλαι,
Ἄδων Προφήτης Ἀββακούμ, προμηνύει,
Ἰδεῖν ἀφράστως, ἀξιωθεὶς τὸν τύπον.
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς Παρθένου,
Ἐξῆλθε λαῶν, εἰς ἀνάπλασιν Λόγος.

Τροπάρια.

Ἶσος προῆλθες τοῖς βροτοῖς ἑκουσίως,
Ὕψιστε, σάρκα προσλαβὼν ἐκ Παρθένου,
Ἰὸν καθᾶραι τῆς δρακοντείας κάρας,
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Θεὸς πεφυκώς, ἐκ πυλῶν ἀνηλίων.

Ἔθνη τὰ πρόσθεν τῇ φθορᾷ βεβυσμένα,
Ὄλεθρον ἄρδην, δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας, σὺν κρότοις ἐφυμνίοις.
Μόνον σέβοντα Χριστόν, ὡς εὐεργέτην,
Ἐν τοῖς καθ' ἡμᾶς συμπαθῶς ἀφιγμένον.

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαὶ Παρθένε,
Ὅρους παρῆλθες, τῶν βροτῶν τῆς οὐσίας,
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων Λόγον·
Ὡς ηὐδόκησεν αὐτός, ἐσφραγισμένην,
Νηδὺν διελθεῖν τῇ κενώσει τῇ ξένῃ.

'Ωδὴ ε'. 'Ο εἱρμός.

'Εκ νυκτὸς ἔργων, ἐσκοτισμένοις πλάνης,
'Ιλασμὸν ἡμῖν Χριστέ, τοῖς ἐγρηγόρως,
Νῦν σοι τελοῦσιν ὕμνον, ὡς εὐεργέτῃ.
"Ελθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον,
Καθ' ἣν ἀνατρέχοντες, εὕροιμεν κλέος.

Τροπάρια.

'Απηνὲς ἔχθος τὸ πρὸς αὐτὸν Δεσπότης,
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ,
"Ινα κρατοῦντος ὤλεσε ψυχοφθόρον,
Κόσμον συνάπτων ταῖς ἀΰλοις οὐσίαις,
Τιθεὶς προσηνῆ τὸν Τεκόντα τῇ κτίσει.

'Ο λαὸς εἶδεν, ὁ πρὶν ἠμαυρωμένος,
Μεθ' ἡμέραν φῶς τῆς ἄνω φρυκτωρίας·
"Εθνη Θεῷ δὲ κλῆρον Υἱὸς προσφέρει
Νέμων ἐκεῖσε, τὴν ἀπόρρητον χάριν,
Οὗ πλεῖον ἐξήνθησεν ἡ ἁμαρτία.

'Ωδὴ ς'. 'Ο εἱρμός.

Ναίων 'Ιωνᾶς ἐν μυχοῖς θαλαττίοις,
'Ελθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέσαι·
Νυγεὶς ἐγὼ δὲ τῷ τυραννοῦντος βέλει,
Χριστὲ προσαυδῶ, τὸν κακῶν ἀναιρέτην,
Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.

Τροπάρια.

"Ος ἦν ἐν ἀρχῇ, πρὸς Θεὸν Θεὸς Λόγος,
Νυνὶ κρατύνει, μὴ σθένουσαν τὴν πάλαι,
'Ιδὼν φυλάξαι, τὴν καθ' ἡμᾶς οὐσίαν,
Καθεὶς ἑαυτὸν δευτέρᾳ κοινωνίᾳ,
Αὖθις προφαίνων τῶν παθῶν ἐλευθέραν.

"Ικται δι' ἡμᾶς 'Αβραὰμ ἐξ ὀσφύος,
Λυγρῶς πεσόντας ἐν σκότει τῶν πταισμάτων
Υἱοὺς ἐγεῖραι τῶν κάτω νενευκότων,
'Ο φῶς κατοικῶν, καὶ φάτνην παρ' ἀξίαν,
Νῦν εὐδόκησας, εἰς βροτῶν σωτηρίαν.

'Ωδὴ ζ'. 'Ο εἱρμός.

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ,
Ἄπλητα θυμαίνοντος ἠγκιστρωμένοι,
Παῖδες τυράννου δύσθεον γλωσσαλγίαν,
Οἷς εἴκαθε πῦρ ἄσπετον τῷ Δεσπότῃ,
Λέγουσιν· Εἰς αἰῶνας εὐλογητὸς εἶ.

Τροπάρια.

Ὑπηρέτας μέν, ἐμφανῶς καταφλέγει,
Σῴζει δὲ παφλάζουσα ῥοιζηδὸν νέους,
Ταῖς ἑπταμέτροις καύσεσι πυργουμένη,
Οὓς ἔστεφε φλόξ, ἄφθονον τοῦ Κυρίου
Νέμοντος, εὐσεβείας εἵνεκα, δρόσον.

Ἀρωγὲ Χριστέ, τὸν βροτοῖς ἐναντίον,
Πρόβλημα τὴν σάρκωσιν ἀρρήτως ἔχων,
Ἤσχυνας, ὄλβον τῆς θεώσεως φέρων,
Μορφούμενος νῦν· ἧστινος δι' ἐλπίδα,
Ἄνωθεν εἰς κευθμῶνας ἤλθομεν ζόφου.

Τὴν ἀγριωπόν, ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύουσαν ἐξοιστρουμένου
Κόσμου, καθεῖλες πανσθενῶς ἁμαρτίαν·
Οὓς εἵλκυσε πρίν, σήμερον τῶν ἀρκύων
Σῴζεις δέ, σαρκωθεὶς ἑκών, Εὐεργέτα.

'Ωδὴ η'. 'Ο εἱρμός.

Μήτραν ἀφλέκτως εἰκονίζουσι Κόρης,
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι.
Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην,
Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ,
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Τροπάρια.

Λύμην φυγοῦσα, τοῦ θεοῦσθαι τῇ πλάνῃ,
Ἄληκτον ὑμνεῖ τὸν κενούμενον Λόγον,
Νεανικῶς ἅπασα σὺν τρόμῳ κτίσις,
Ἄδοξον εὖχος δειματουμένη φέρειν,
Ῥευστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.

Ἥκεις πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων,
Τὴν ἀνθοποιὸν ἐξ ἐρημαίων λόφων,
Ἡ τῶν ἐθνῶν ἔγερσις, ἀνθρώπων φύσιν·
Ῥώμην βιαίαν τοῦ βροτοκτόνου σβέσαι,
Ἀνὴρ φανείς τε, καὶ Θεὸς προμηθείᾳ.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν, τῷ πόθῳ δὲ Παρθένε,
Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους,
Ἐργῶδές ἐστιν· ἀλλὰ καὶ Μήτηρ σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

Τροπάρια.

Τύπους ἀφεγγεῖς καὶ σκιᾶς παρῳχημένας,
Ὦ Μῆτερ ἁγνή, τοῦ Λόγου δεδορκότες,
Νέου φανέντος, ἐκ πύλης κεκλεισμένης,
Δοξούμενοί τε, τῆς ἀληθείας φάος,
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

Πόθου τετευχώς, καὶ Θεοῦ παρουσίας,
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος,
Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας,
Ὡς ζωοποιοῦ· τὴν χάριν δὲ Παρθένε,
Νέμοις ἄχραντε, προσκυνῆσαι τὸ κλέος.

Β΄ — Νεκρώσιμα Ἰδιόμελα

Ἦχος α΄

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; Ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; Πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα· μία ῥοπὴ καὶ ταῦτα πάντα θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, ὃν ἐξελέξω ἀνάπαυσον ὡς φιλάνθρωπος.

Ἦχος β΄

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος· πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ, πάντες

ἀναστήσονται πρὸς τὴν σὴν ὑπάντησιν, Χριστὲ ὁ Θεός· τότε, Δέσποτα, ὃν μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν ἁγίων σου κατάταξον σκηναῖς, τὸ πνεῦμα τοῦ σοῦ δούλου, Χριστέ.

Ὁ αὐτὸς

Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος! Οἴμοι πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! πρὸς τοὺς ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει· πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα. Διό, ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τῷ μεταστάντι τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος γ'

Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον· οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται. Διὸ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ βοήσωμεν. Τὸν μεταστάντα ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

Ἦχος δ'

Ὄντως φοβερώτατον, τὸ τοῦ θανάτου μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος βιαίως χωρίζεται ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας ὁ φυσικώτατος δεσμός, θείῳ βουλήματι ἀποτέμνεται. Διὸ σὲ ἱκετεύομεν· τὸν μεταστάντα ἀνάπαυσον ἐν σκηναῖς τῶν δικαίων σου, ζωοδότα φιλάνθρωπε.

Ὁ αὐτὸς

Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια; Ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία; Ποῦ ἐστιν ὁ χρυσὸς καὶ ὁ ἄργυρος; Ποῦ ἐστι τῶν οἰκετῶν ἡ πλήμμυρα καὶ ὁ θόρυβος; Πάντα κόνις, πάντα τέφρα, πάντα σκιά! Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ βασιλεῖ· Κύριε, τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον τὸν μεταστάντα ἐξ ἡμῶν, ἀναπαύων αὐτὸν ἐν τῇ ἀγήρῳ μακαριότητι.

Ἦχος πλ. α'

Ἐμνήσθην τοῦ Προφήτου βοῶντος. Ἐγώ εἰμι γῆ καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα καὶ εἶπον· ἆρα τίς ἐστι, βασιλεὺς ἢ στρατιώτης, ἢ πλούσιος ἢ πένης ἢ δίκαιος ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ δικαίων τὸν δοῦλόν σου, ὡς φιλάνθρωπος.

Ἦχος πλ. β'

Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε καὶ ὁρατῆς με ζῷον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα

διέπλασας, δέδωκας δέ μοι ψυχήν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. Διό, Χριστέ, τὸν δοῦλόν σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Ἦχος βαρὺς

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν ζωοδότα, ὃν μετέστησας ἀδελφὸν ἡμῶν ἐκ τῶν προσκαίρων, κράζοντα· δόξα σοι.

Ὁ αὐτὸς

Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον, ἐν Παραδείσῳ τέθεικας, κατάρχειν σου τῶν κτισμάτων· φθόνῳ δὲ διαβόλου ἀπατηθείς, τῆς βρώσεως μετέσχε, τῶν ἐντολῶν σου παραβάτης γεγονώς· διὸ πάλιν εἰς γῆν ἐξ ἧς ἐλήφθη, κατεδίκασας ἐπιστρέφειν, Κύριε, καὶ αἰτεῖσθαι τὴν ἀνάπαυσιν.

Ἦχος πλ. δ'

Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος. Ὢ τοῦ θαύματος! Τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; Πῶς παρεδόθημεν τῇ φθορᾷ, πῶς συνεζεύχθημεν τῷ θανάτῳ; Ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Ὁ αὐτὸς

Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος· εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ Παράδεισος ἠνέῳκτο· διὸ τὸν μεταστάντα ἀνάπαυσον ὡς φιλάνθρωπος.

V

ΚΟΣΜΑ ΤΟΥ ΜΑΪΟΥΜΑ Κανὼν εἰς τὴν Ὑπαπαντήν [1].

Ἡ ἀκροστιχὶς *«Χριστὸν γεγηθὼς πρέσβυς ἀγκαλίζεται»*.

Ἦχος γ'

Ὠδὴ α'. Ὁ εἱρμός.

***Χ**έρσον ἀβυσσοτόκον πέδον | ἥλιος ἐπεπόλευσέ ποτε·*
ὡσεὶ τεῖχος γὰρ ἐπάγη | ἑκατέρωθεν ὕδωρ
λαῷ πεζοποντοποροῦντι | καὶ θεαρέστως μέλποντι·
ᾄσωμεν τῷ Κυρίῳ· | ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

***Ῥ**ανάτωσαν ὕδωρ νεφέλαι· | ἥλιος ἐν νεφέλῃ γὰρ κούφῃ*
ἐποχούμενος ἐπέστη | ἀκηράτοις ὠλέναις
Χριστὸς ἐν τῷ ναῷ ὡς βρέφος· | διὸ πιστοὶ βοήσωμεν·
ᾄσωμεν τῷ Κυρίῳ· | ἐνδόξως γὰρ δεδόξασται.

(β) ***Ἰ**σχύσατε χεῖρες Συμεὼν | τῷ γήρᾳ ἀνειμέναι, καὶ κνῆμαι*
παρειμέναι δὲ πρεσβύτου | εὐθυβόλως κινεῖσθε
Χριστοῦ πρὸς ὑπαντήν· χορείαν | σὺν ἀσωμάτοις στήσαντες
ᾄσωμεν τῷ Κυρίῳ | ἐνδόξως γὰρ δεδόξασται.

(γ) ***Σ**υνέσει ταθέντες οὐρανοὶ | εὐφράνθητε, ἀγάλλου δὲ ἡ γῆ·*
ὑπερθέων γὰρ ἐκ κόλπων | ὁ τεχνίτης φοιτήσας
Χριστὸς ὑπὸ μητρὸς Παρθένου | Θεῷ Πατρὶ προσάγεται
νήπιος ὁ πρὸ πάντων· | ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'. Ὁ εἱρμός.

***Τ**ὸ στερέωμα | τῶν ἐπὶ σοὶ πεποιθότων*
στερέωσον, Κύριε, | τὴν Ἐκκλησίαν,
ἣν ἐκτίσω τῷ τιμίῳ σου αἵματι.

---

18 - 20: ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα, Ἡσαΐας, λε', 3.

---

1. Christ-Paranikas, Ἐνθ' ἀνωτ., σσ. 173-176.

Τροπάρια.

Ὁ πρωτότοκος | ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων
πρωτότοκος νήπιος | κόρης ἀφθόρου
τῷ Ἀδὰμ χεῖρα προτείνων ἐπέφανεν. 42

(β) *Νηπιόφρονα | τὸν γεγονότα ἀπάτῃ*
πρωτόπλαστον ἔμπαλιν | ἐπανορθώσων
Θεὸς Λόγος νηπιάσας ἐπέφανε. 47

(γ) *Γῆς ἀπόγονον | παλινδρομήσασαν ταύτῃ*
θεότητος σύμμορφον | φύσιν ὁ Πλάστης
ὡς ἀτρέπτως νηπιάσας ἀνέδειξε. 52

Ὠδὴ δ'. Ὁ εἱρμός.

Ἐκάλυψεν οὐρανοὺς | ἡ ἀρετή σου, Χριστέ·
τῆς κιβωτοῦ γὰρ προελθὼν | τοῦ ἁγιάσματός σου, 55
τῆς ἀφθόρου Μητρός, | ἐν τῷ ναῷ τῆς δόξης σου ὤφθης,
ὡς βρέφος ἀγκαλοφορούμενος·
καὶ ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Τροπάρια.

Γηθόμενος Συμεὼν | τῶν ἀπορρήτων μύστα, 61
ἡ Θεοτόκος ἐβόα, | ὃν ὑφ' Ἁγίου πάλαι |
κεχρημάτισαι | Πνεύματος νηπιάσαντα Λόγον
Χριστὸν ἐναγκαλίζου, κράζων αὐτῷ·
ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως. 66

(β) *Ὃν ἤλπισας, Συμεών, ἡλικιώτην βρεφῶν,*
χαίρων ὑπόλαβε Χριστόν, | τοῦ Ἰσραὴλ τοῦ θείου
τὴν παράκλησιν, | τὸν νόμου ποιητὴν καὶ δεσπότην
πληροῦντα νόμου τάξιν, κράζων αὐτῷ·
ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως. 73

(γ) *Θεώμενος Συμεὼν λόγον τὸν ἄναρχον*
μετὰ σαρκός, ἐν θρόνῳ | χερουβικῷ Παρθένῳ
ἐποχούμενον, | τὸν αἴτιον τοῦ εἶναι τὰ πάντα
ὡς βρέφος, ἐκπλαγεὶς ἐβόα αὐτῷ·
ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως. 80

Ὠδὴ ε΄. Ὁ εἱρμός.

__Ὡς__ εἶδεν Ἠσαΐας | συμβολικῶς ἐν θρόνῳ ἐπηρμένῳ Θεὸν
ὑπ' ἀγγέλων δόξης | δορυφορούμενον,
ὢ τάλας! ἐβόα, ἐγώ· 85
πρὸ γὰρ εἶδον σωματούμενον Θεόν,
φωτὸς ἀνεσπέρου | καὶ εἰρήνης δεσπόζοντα.

Τροπάρια.

__Συνεὶς__ ὁ θεῖος πρέσβυς | τὴν προφανεῖσαν πάλαι τῷ προφήτῃ δόξαν,
σαρκὶ Λόγον βλέπων | Μητρὶ κρατούμενον,
ὢ χαίροις, ἐβόα, σεμνή· 93
ὡς γὰρ θρόνος περιέχεις τὸν Θεόν,
φωτὸς ἀνεσπέρου | καὶ εἰρήνης δεσπόζοντα.

(β) *__Προκύψας__ ὁ πρεσβύτης | καὶ τῶν ἰχνῶν ἐνθέως ἐφαψάμενος*
τῆς ἀπειρογάμου | καὶ Θεομήτορος, 100
πῦρ, ἔφη, βαστάζεις, ἁγνή·
βρέφος φρίττω ἀγκαλίσασθαι Θεόν,
φωτὸς ἀνεσπέρου | καὶ εἰρήνης δεσπόζοντα.

(γ) *__Ῥύπτεται__ Ἠσαΐας | τοῦ Σεραφὶμ τὸν ἄνθρακα δεξάμενος,* 106
ὁ πρέσβυς ἐβόα | τῇ Θεομήτορι·
σὺ ὥσπερ λαβίδι χερσὶ
λαμπρύνεις με ἐπιδοῦσα ὃν φέρεις,
φωτὸς ἀνεσπέρου | καὶ εἰρήνης δεσπόζοντα.

Ὠδὴ ς΄. Ὁ εἱρμός.

__Ἐβόησέ__ σοι | ἰδὼν ὁ πρέσβυς
τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, | ὃ λαοῖς ἐπέστη
ἐκ Θεοῦ, Χριστέ, σὺ θεός μου. 117

Τροπάρια.

__Σιὼν__ σὺ λίθος | ἐναπετέθης
τοῖς ἀπιστοῦσι προσκόμματος | καὶ σκανδάλου πέτρα,
ἀρραγὴς πιστῶν σωτηρία.

(β) *__Βεβαίως__ φέρων | τὸν χαρακτῆρα*

---

118. κἂν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοι εἰς ἁγίασμα καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε, οὐδὲ ὡς πέτρας πτώματι. Ἠσ. η΄, 14.

τοῦ πρὸ αἰώνων σε φύσαντος | τὴν βροτῶν δι' οἶκτον 126
νῦν ἀσθένειαν περιέθου.

(γ) ***Υ**ἱὸν Ὑψίστου, | υἱὸν Παρθένου,*
Θεὸν παιδίον γενόμενον | προσκυνήσαντά σε
νῦν ἀπόλυσον ἐν εἰρήνῃ. 132

'Ωδὴ ζ'. Ὁ εἱρμός.

***Σ**ὲ τὸν ἐν πυρὶ δροσίσαντα | παῖδας θεολογήσαντας*
καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα,
Θεὸν Λόγον ὑμνοῦμεν, | εὐσεβῶς μελῳδοῦντες·
εὐλογητὸς ὁ Θεὸς | ὁ τῶν πατέρων ἡμῶν. 140

Τροπάρια.

***Ἀ**δὰμ ἐμφανίσων ἄπειμι | εἰς Ἅδου διατρίβοντι*
καὶ τῇ Εὔᾳ προσκομίσων εὐαγγέλια,
Συμεὼν ἀνεβόα, | σὺν προφήταις χορεύων·
εὐλογητὸς ὁ Θεὸς | τῶν πατέρων ἡμῶν. 146

(β) ***Γ**ένος χοϊκὸν ῥυσόμενος | Θεὸς ἕως τοῦ Ἅδου ἥξει·*
αἰχμαλώτοις δὲ παρέξει πᾶσαν ἄφεσιν
καὶ ἀνάβλεψιν πηροῖς, | ὡς ἀλάλοις βοῆσαι·
εὐλογητὸς ὁ Θεὸς | ὁ τῶν πατέρων ἡμῶν. 153

(γ) ***Κ**αὶ σοῦ τὴν καρδίαν, ἄφθορε, | ῥομφαία διελεύσεται,*
Συμεὼν τῇ Θεοτόκῳ προηγόρευσεν, 156
ἐν σταυρῷ καθορώσης | σὸν Υἱόν, ᾧ βοῶμεν·
εὐλογητὸς ὁ Θεὸς | ὁ τῶν πατέρων ἡμῶν.

'Ωδὴ η'. Ὁ εἱρμός.

***Ἀ**στέκτῳ πυρὶ ἑνωθέντες | οἱ θεοσεβείας προεστῶτες νεανίαι,*
τῇ φλογὶ δὲ μὴ λωβηθέντες | θεῖον ὕμνον ἔμελπον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον 165
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

***Λ**αὸς Ἰσραήλ, τὴν σὴν δόξαν | τὸν Ἐμμανουὴλ ὁρῶν παιδίον ἐκ Παρθένου*
πρὸ προσώπου τῆς θείας | κιβωτοῦ νῦν χόρευε·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον 172
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

(β) *Ἰδού, Συμεὼν ἀνεβόα, | τὸ ἀντιλεγόμενον σημεῖον οὗτος ἔσται,*
Θεὸς ὢν καὶ παιδίον· | τούτῳ πίστει ψάλλωμεν·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας. 181

(γ) *Ζωὴ πεφυκὼς οὗτος ἔσται | πτῶσις ἀπειθοῦσι νηπιάσας θεῖος Λόγος*
ὡς ἀνάστασις πᾶσι | τοῖς ἐν πίστει μέλλουσιν·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον 186
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ εἱρμός.

Ἐν νόμου σκιᾷ καὶ γράμματι τύπον | κατίδωμεν οἱ πιστοί·
πᾶν ἄρσεν τὸ τὴν μήτραν | διανοῖγον ἅγιον Θεῷ· 192
διὸ πρωτότοκον Λόγον | Πατρὸς ἀνάρχου Υἱὸν
πρωτοτοκούμενον Μητρὶ | ἀπειράνδρῳ, μεγαλύνωμεν.

Τροπάρια.

Τοῖς πρὶν νεογνῶν τρυγόνων ζεῦγος | δυάς τε ἦν νεοσσῶν·
ἀνθ' ὧν ὁ θεῖος πρέσβυς | καὶ σώφρων Ἄννα προφῆτις 200
τῷ ἐκ Παρθένου τεχθέντι | καὶ οἵῳ γόνῳ πατρὸς
ἐν τῷ ναῷ προσιόντι | λειτουργοῦντες ἐμεγάλυνον.

(β) *Ἀπέδωκάς μοι, ἐβόα Συμεών, | τοῦ σωτηρίου σου,* 206
Χριστέ, ἀγαλλίασιν· | ἀπόλαβέ σου τὸν λάτριν,
τὸν τῇ σκιᾷ κεκμηκότα, | νέον τῆς χάριτος 210
ἱεροκήρυκα μύστην | ἐν αἰνέσει μεγαλύνοντα.

(γ) *Ἱεροπρεπῶς ἀνθωμολογεῖτο | ὑποφητεύουσα*
ἡ σώφρων καὶ ὁσία | καὶ πρεσβυρὰ τῷ δεσπότῃ 216
ἐν τῷ ναῷ διαρρήδην· | τὴν Θεοτόκον δὲ
ἀνακηρύττουσα πᾶσι | τοῖς παροῦσιν ἐμεγάλυνεν. 220

VI

ΥΜΝΟΛΟΓΙΚΑ ΔΙΑΦΟΡΑ

Ὕμνος ἐπιλύχνιος.

Φῶς ἱλαρὸν ἁγίας δόξης
ἀθανάτου Πατρὸς οὐρανίου,
ἁγίου, μάκαρος,
Ἰησοῦ Χριστέ,
ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν,
ἰδόντες φῶς ἑσπερινὸν
ὑμνοῦμεν Πατέρα, Υἱὸν
καὶ Ἅγιον Πνεῦμα, Θεόν.
Ἄξιος εἶ ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι
φωναῖς αἰσίαις,
Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς.
Διὸ ὁ κόσμος σε δοξάζει.

Κάθισμα Εὐαγγελισμοῦ.

Τὴν ὡραιότητα τῆς παρθενίας σου
καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου
ὁ Γαβριὴλ καταπλαγεὶς
ἐβόα σοι, Θεοτόκε.
Ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον;
τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι.
Διὸ ὡς προσετάγην βοῶ σοι·
Χαῖρε ἡ κεχαριτωμένη.

Ἀπολυτίκιον τοῦ β' ἤχου

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον,
ἡ ζωὴ ἡ ἀθάνατος,
τότε τὸν Ἅδην ἐνέκρωσας
τῇ ἀστραπῇ τῆς θεότητος.
Ὅτε δὲ καὶ τοὺς τεθνεῶτας
ἐκ τῶν καταχθονίων ἀνέστησας
πᾶσαι αἱ δυνάμεις
τῶν ἐπουρανίων ἐκραύγαζον·
Ζωοδότα Χριστέ,
ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἀπολυτίκιον Τριῶν Ἱεραρχῶν
ἦχος α'.

Τοὺς τρεῖς μεγίστους φωστῆρας τῆς τρισηλίου θεότητος,
τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας,
τοὺς μελιρρύτους ποταμοὺς τῆς σοφίας,
τοὺς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας,
Βασίλειον τὸν μέγαν καὶ τὸν θεολόγον Γρηγόριον,

σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλῶτ ταν χρυσορρήμονι,
πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταὶ
συνελθόντες ὕμνοις τιμήσωμεν·
αὐτοὶ γὰρ τῇ Τριάδι ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

Θεοτοκίον

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος·
Χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ·
Χαῖρε, ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε·
ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεόν,
πρεσβεύουσα μὴ ἐλλίπῃς
ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

Κοντάκιον Ρωμανοῦ εἰς τὴν Γέννησιν.

Ἡ Παρθένος σήμερον
τὸν ὑπερούσιον τίκτει
καὶ ἡ γῆ τὸ σπήλαιον
τῷ ἀπροσίτῳ προσάγει·
ἄγγελοι μετὰ ποιμένων
δοξολογοῦσι·
μάγοι δὲ μετὰ ἀστέρος
ὁδοιποροῦσι·
δι' ἡμᾶς γὰρ ἐγεννήθη
παιδίον νέον,
ὁ πρὸ αἰώνων Θεός.

ΚΑΣΙΑΣ ΜΟΝΑΧΗΣ

Ἰδιόμελον εἰς τὴν Μεγάλην Τετάρτην
ἦχος πλ. δ' [1].

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή,
τὴν σὴν αἰσθομένη θεότητα,
μυροφόρου ἀναλαβοῦσα τάξιν,
ὀδυρομένη μύρον σοι πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει·
οἴμοι, λέγουσα, ὅτι νύξ μοι ὑπάρχει,
οἶστρος ἀκολασίας, ζοφώδης τε καὶ ἀσέληνος
ἔρως τῆς ἁμαρτίας·
δέξαι μου τὰς πηγὰς τῶν δακρύων,
ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ·
κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας,
ὁ κλίνας τοὺς οὐρανοὺς τῇ ἀφράστῳ σου κενώσει·

1. Πρβλ. καὶ Chrst-Paranikas, σ. 104.

καταφιλήσω τοὺς ἀχράντους σου πόδας,
ἀποσμήξω τούτους δὲ πάλιν
τοῖς τῆς κεφαλῆς μου βοστρύχοις·
ὧν ἐν τῷ παραδείσῳ Εὔα τὸ δειλινὸν
κρότον τοῖς ὠσὶν ἠχηθεῖσα
τῷ φόβῳ ἐκρύβη·
ἁμαρτιῶν μου τὰ πλήθη καὶ κριμάτων σου ἀβύσσους
τίς ἐξιχνιάσει, ψυχοσῶστα Σωτήρ μου;
Μή με τὴν σὴν δούλην παρίδῃς
ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ

Ἰδιόμελον Πεντηκοστῆς, ἦχος πλ. δ'[1].

Δεῦτε, λαοί, τὴν τρισυπόστατον θεότητα προσκυνήσωμεν,
Υἱὸν ἐν τῷ Πατρὶ σὺν Ἁγίῳ Πνεύματι·
Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν
Υἱὸν συναΐδιον καὶ σύνθρονον,
καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρί,
σὺν Υἱῷ δοξαζόμενον·
μία δύναμις, | μία οὐσία, μία θεότης,
ἣν προσκυνοῦντες πάντες λέγομεν·
ἅγιος ὁ Θεὸς | ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ,
συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος·
ἅγιος ἰσχυρός, δι' οὗ τὸν Πατέρα ἐγνώκαμεν
καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν κόσμῳ·
ἅγιος ἀθάνατος, τὸ παράκλητον Πνεῦμα,
τὸ ἐκ Πατρὸς ἐκπορευόμενον
καὶ ἐν Υἱῷ ἀναπαυόμενον·
Τριὰς ἁγία, δόξα σοι.

1. Κατὰ τὸ Πεντηκοστάριον. Πρβλ. Christ-Paranikas, σ. 109.

ΑΝΩΝΥΜΩΝ

Στιχηρὸν αὐτόμελον εἰς τὴν Μεγάλην Παρασκευὴν
ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν
ὁ Ἀριμαθαίας καθεῖλε
τὴν τῶν ἁπάντων ζωήν,
σμύρνῃ καὶ σινδόνι σε,
Χριστέ, ἐκήδευσε·
καὶ τῷ πόθῳ ἠπείγετο,
καρδίᾳ καὶ χείλει,
σῶμα τὸ ἀκήρατον
σοῦ περιπτύξασθαι·
ὅμως, συστελλόμενος φόβῳ,
χαίρων ἀνεβόα σοι· Δόξα
τῇ συγκαταβάσει σου, φιλάθρωπε

Μεγαλυνάρια Χριστουγέννων.
ἦχος α'.

Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.
Μεγάλυνον, ψυχή μου, τὸν ἐκ τῆς Παρθένου
Θεὸν σαρκὶ τεχθέντα.
Μεγάλυνον, ψυχή μου, τὸν ἐν τῷ σπηλαίῳ
τεχθέντα βασιλέα.
Μεγάλυνον, ψυχή μου, τὸν ὑπὸ τῶν μάγων
Θεὸν προσκυνηθέντα...
Σήμερον ἡ Παρθένος τίκτει τὸν Δεσπότην
ἔνδον ἐν τῷ σπηλαίῳ.
Σήμερον ὁ Δεσπότης ῥάκει σπαργανοῦται,
ὁ ἀναφὴς ὡς βρέφος.
Μεγάλυνον, ψυχή μου, τῆς Τρισυποστάτου
καὶ ἀδιαιρέτου θεότητος τὸ κράτος.
Μεγάλυνον, ψυχή μου, τὴν λυτρωσαμένην
ἡμᾶς ἐκ τῆς κατάρας.

Ἐγκώμια, εἰς στάσεις τρεῖς, τοῦ ὄρθρου τοῦ Μεγάλου Σαββάτου.
Στάσις α', ἦχος πλ. α'.

1. *Ἡ ζωὴ ἐν τάφῳ κατετέθης, Χριστέ,*
καὶ ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο,
συγκατάβασιν δοξάζουσαι τὴν σήν.

2. *Μέτρα γῆς ὁ στήσας, ἐν σμικρῷ κατοικεῖς,*
Ἰησοῦ παμβασιλεῦ, τάφῳ σήμερον
ἐκ μνημάτων τοὺς θανόντας ἀνιστῶν.

3. *᾿Απορεῖ καὶ φύσις νοερὰ καὶ πληθὺς*
ἡ ἀσώματος, Χριστέ, τὸ μυστήριον
τῆς ἀφράστου καὶ ἀρρήτου σου ταφῆς.

4. *῞Ωσπερ λέων, Σῶτερ, ἀφυπνώσας σαρκί,*
ὥς τις σκύμνος ὁ νεκρὸς ἐξανίστασαι,
ἀποθέμενος τὸ γῆρας τῆς σαρκός.

5. *Οἴμοι, φῶς τοῦ κόσμου! οἴμοι φῶς τὸ ἐμόν,*
᾿Ιησοῦ μου ποθεινότατε, ἔκραζεν
ἡ Παρθένος θρηνῳδοῦσα γοερῶς.

6. *Τίς μοι δώσει ὕδωρ καὶ δακρύων πηγάς;*
ἡ θεόνυμφος Παρθένος ἐκραύγαζεν,
ἵνα κλαύσω τὸν γλυκύν μου ᾿Ιησοῦν;

Στάσις β', ἦχος πλ. α'.

1. *῎Αξιόν ἐστι μεγαλύνειν σε τὸν ζωοδότην,*
τὸν ἐν τῷ σταυρῷ τὰς χεῖρας ἐκτείναντα
καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

2. *῞Υπνωσας, Χριστέ, τὸν φυσίζωον ὕπνον ἐν τάφῳ*
καὶ βαρέος ὕπνου ἐξήγειρας,
τοῦ τῆς ἁμαρτίας, τὸ τῶν ἀνθρώπων γένος.

3. *Γῆς ὁ κατ' ἀρχὰς μόνῳ νεύματι πήξας τὸν γῦρον,*
ἄπνους ὡς βροτὸς καθυπέδυ γῆν·
φρῖξον τῷ θεάματι, οὐρανέ.

4. *Τέτρωμαι δεινῶς καὶ σπαράττομαι τὰ σπλάγχνα, Λόγε,*
βλέπουσα τὴν ἄδικόν σου σφαγήν,
ἔλεγεν ἡ Πάναγνος ἐν κλαυθμῷ.

5. *῎Εδυς τῇ σαρκὶ ὁ ἀνέσπερος εἰς γῆν φωσφόρος,*
καὶ μὴ φέρων βλέπειν ὁ ἥλιος
ἐσκοτίσθη μεσημβρίας ἐν ἀκμῇ.

Στάσις γ', ἦχος γ'.

1. *Αἱ γενεαὶ αἱ πᾶσαι | ὕμνον τῇ ταφῇ σου*
προσφέρουσι, Χριστέ μου.

2. *Δεῦρο πᾶσα κτίσις, | ὕμνους ἐξοδίους*
προσοίσωμεν τῷ Κτίστῃ.

3. *'Ανέκραζεν ἡ Κόρη, | θερμῶς δακρυρροοῦσα*
τὰ σπλάγχνα κεντουμένη.

4. *Ὦ φῶς τῶν ὀφθαλμῶν μου, | γλυκύτατόν μου τέκνον,*
πῶς τάφῳ νῦν καλύπτῃ;

5. *Ἔρραναν τὸν τάφον | αἱ μυροφόροι μύρα*
λίαν πρωῒ ἐλθοῦσαι.

Τροπάριον ἀναστάσιμον.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν
θανάτῳ θάνατον πατήσας
καὶ τοῖς ἐν τοῖς μνήμασι
ζωὴν χαρισάμενος.

Τροπάριον ἦχος πλ. α'.

'Ησαΐα χόρευε· ἡ Παρθένος ἔσχεν ἐν γαστρί, καὶ ἔτεκεν υἱὸν τὸν 'Εμμανουήλ, Θεόν τε καὶ ἄνθρωπον. 'Ανατολὴ ὄνομα αὐτῷ· ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν.

ΠΙΝΑΚΕΣ[1]

Α' ΣΥΓΓΡΑΦΕΩΝ

1. Συνετάχθησαν ὑπὸ Σταύρου 'Ι. Κουρούση. Διὰ κεφαλαίων ἐσημειώθησαν οἱ συγγραφεῖς, περὶ ὧν ἐν τῷ βιβλίῳ ἐκτενεστέρα διαπραγμάτευσις, δι' ἀστερίσκων δ' αἱ σελίδες ὅπου ἡ βασικὴ διαπραγμάτευσις περὶ τῶν συγγραφέων.

Β′ ΟΡΩΝ ΚΑΙ ΠΡΑΓΜΑΤΩΝ

ΠΡΟΣΘΗΚΑΙ ΤΙΝΕΣ

Σελὶς 42, σημ. 1: Enrica Follieri, Le poesie di Cristoforo Mitilineo come fonte storica, ἐν «Recueil de travaux de l'Institut d'Études Byzantines» Nº VIII, 2 (Mélanges G. Ostrogorsky II), Beograd 1964, σσ. 133 - 148.

Σελὶς 46, εἰς τὰ περὶ ᾠδῶν: Ὠδαὶ παρ' Ἑβραίοις καὶ Χριστιανοῖς, πρβλ. Εὐσέβιον, Εὐαγγ. Προπαρ. ΙΒ', αβ' (ΒΕΠ ΚϚ', σσ. 81 - 83).

Σελὶς 47, εἰς τὸ τέλος τῆς ὑποσημειώσεως: 1) Μ. Ἰ. Γεδεών, Ἀσινᾶς μελῳδός, βοήθημα εἰς τὴν ἱστορίαν τῆς ἱερᾶς ἡμῶν μουσικῆς, περ. «Νέα Φόρμιγξ» Α', τεῦχος 1 (Μάρτ. 1921), σσ. 2 γ', 3 αγ', 4 α', ἀρ. 3 (Μάϊος 1921), σσ. 3 γ' - 4 α', καὶ ἀρ. 4 (Ἰούν. 1921), σσ. 2 αγ'. 2) Σπυρίδων Καμπανάος, Λαυριώτης ἰατρός, Δημοσίευσις ἀνεκδότων χειρογράφων: Κοσμᾶς μελῳδὸς ὁ ἁγιοπολίτης, «Νέα Φόρμιγξ» Α', ἀρ. φ. 10 (Δεκ. 1921, ὅπου δημοσιεύεται Βίος καὶ πολιτεία τοῦ ὁσίου Κοσμᾶ τοῦ Ἁγιοπολίτου καὶ ποιητοῦ ἐκ κώδ. Λαύρ. Γ' 44) καὶ Β' (1922) ἀρ. 14, 15, 16, 17, 18. 3) Ἐ. Α. Πεζόπουλος, Παρατηρήσεις εἰς τὴν Ἐκκλησιαστικὴν Ποίησιν Α' - Β', «Νέα Φόρμιγξ» Β', ἀρ. 23 - 24 (Ἰαν. - Φεβρ. 1923), σσ. 2 α' - 5 γ' (ὅπου καὶ ἐπίκρισις τῶν Παντελάκη, Κοντ. καὶ Καν.).

Σελὶς 81, εἰς τὸ τέλος τῆς σημ. 1: José Grosdidier de Matons, L'homotonie et l'isosyllabie chez Romanos, «Akten des XI. IBK» München (1958), 1960, σσ. 200 - 205.

ΔΙΟΡΘΩΘΗΣΑΝ
ΤΑ ΠΑΡΟΡΑΜΑΤΑ

Σελ.	15	στίχ.	23	ἐκ τῶν ἄνω	ἀντὶ	dem	γρ.	den
»	29	»	14	» » »	»	γραφίδες	»	σφραγῖδες
»	74	»	7	ἐκ τῶν κάτω	»	292 - 309	»	202 - 209
»	76	»	20	ἐκ τῶν ἄνω	»	*ἀναπαῦσαι*	»	*ἀναπαύσαι*
»	77	»	2	» » »	»	*ὕμον*	»	*ὕμνον*
»	79	»	17	ἐκ τῶν κάτω	»	1965	»	1964
»	105	»	13	» » »	»	ἔχοντα	»	ἔχοντας
»	113	»	15	ἐκ τῶν ἄνω	»	6	»	5
»	123	»	14	ἐκ τῶν κάτω	»	Ὠμοίως	»	Ὁμοίως
»	135	»	5	» » »	»	*φιλοξνείας*	»	*φιλοξενείας*

ΠΕΡΙΕΧΟΜΕΝΑ Β' ΤΟΜΟΥ

ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ: Η ΜΟΡΦΗ ΚΑΙ ΤΟ ΘΕΜΑ

ΥΜΝΟΓΡΑΦΙΚΟΝ ΕΠΙΜΕΤΡΟΝ